# ΠΡΟΣ ΦΙΛΙΠΠΗΣΙΟΥΣ[1]

*[Salutation]*

**1**.1 Παυλος και Τιμοθεος, δουλοι Ιησου Χριστου,[2] πασιν τοις ἁγιοις εν Χριστω Ιησου τοις
ουσιν εν Φιλιπποις, συν επισκοποις και διακονοις: 2 Χαρις ὑμιν και ειρηνη απο Θεου
Πατρος ἡμων και Κυριου Ιησου Χριστου.

*[How Paul prays for them]*

3 Ευχαριστω τω Θεω μου επι παση τη μνεια ὑμων· 4 παντοτε εν παση δεησει μου
ὑπερ παντων ὑμων μετα χαρας την δεησιν ποιουμενος, 5 επι τη κοινωνια ὑμων εις το
ευαγγελιον απο[3] πρωτης ἡμερας αχρι του νυν, 6 πεποιθως αυτο τουτο, ὁτι ὁ εναρξαμενος
εν ὑμιν εργον αγαθον επιτελεσει αχρις[4] ἡμερας Ιησου Χριστου·[5] 7 καθως εστιν δικαιον
εμοι τουτο φρονειν ὑπερ παντων ὑμων, δια το εχειν με εν τη καρδια ὑμας, εν τε τοις
δεσμοις μου και εν[6] τη απολογια και βεβαιωσει του ευαγγελιου συγκοινωνους μου της
χαριτος παντας ὑμας οντας. 8 Μαρτυς γαρ μου εστιν[7] ὁ Θεος ὡς επιποθω παντας ὑμας εν
σπλαγχνοις Ιησου Χριστου.[8]

9 Και τουτο προσευχομαι: ἱνα ἡ αγαπη ὑμων ετι μαλλον και μαλλον περισσευη εν
επιγνωσει και παση αισθησει, 10 εις το δοκιμαζειν ὑμας τα διαφεροντα, ἱνα ητε εἱλι-
κρινεις[9] και απροσκοποι εις ἡμεραν Χριστου, 11 πεπληρωμενοι καρπων[10] δικαιοσυνης των[11]
δια Ιησου Χριστου, εις δοξαν και επαινον Θεου.

## [News and instructions]

*[By whatever means, Christ is preached]*

**1**.12 Γινωσκειν δε ὑμας βουλομαι, αδελφοι, ὁτι τα κατ' εμε μαλλον εις προκοπην του
ευαγγελιου, εληλυθεν: 13 ὡστε τους δεσμους μου φανερους εν Χριστω γενεσθαι εν ὁλω τω
πραιτωριω, και τοις λοιποις πασιν· 14 και, τους πλειονας των αδελφων εν Κυριω πεποι-
θοτας τοις δεσμοις μου περισσοτερως τολμαν, αφοβως τον λογον λαλειν.[12] 15 Τινες μεν και
δια φθονον και εριν, τινες δε και δι' ευδοκιαν τον Χριστον κηρυσσουσιν· 16 οἱ μεν εξ
εριθειας τον Χριστον καταγγελλουσιν, ουχ ἁγνως, οιομενοι θλιψιν επιφερειν[13] τοις δεσμοις
μου, 17 οἱ δε εξ αγαπης, ειδοτες ὁτι εις απολογιαν του ευαγγελιου κειμαι.[14] 18 Τί γαρ?
Πλην[15] παντι τροπω, ειτε προφασει ειτε αληθεια, Χριστος καταγγελλεται, και εν τουτω
χαιρω—αλλα και χαρησομαι.

---

[1] Both the Text and the apparatus are the responsibility of Wilbur N. Pickering, ThM PhD, ©. I venture to affirm to the reader that all original wording of Philippians is preserved in this edition, if not in the Text, at least in the apparatus. "Diminish not a word" Jeremiah 26:2 (see Deut. 4:2 and Luke 4:4, "every word" [as in 99.6% of the MSS]). The last note at the end of this book gives explanation about the apparatus.

[2] ιησου χριστου $\mathbf{f}^{35}$ [97%] RP,HF,OC,TR,CP || ~ 21 ℵB [3%] NU

[3] απο $\mathbf{f}^{35}$ [97%] RP,HF,OC,TR,CP || 1 της $P^{46}$ℵA,B [3%] NU

[4] αχρις $\mathbf{f}^{35}$ [97%] HF,OC,TR,CP || αχρι ℵ(A)B [3%] RP,NU

[5] ιησου χριστου $\mathbf{f}^{35}$ ℵA [65%] OC,TR || ~ 21 $P^{46}$B [35%] RP,HF,CP,NU

[6] εν $\mathbf{f}^{35}$ $P^{46}$ℵB [95%] RP,HF,OC,CP,NU || --- A [5%] TR

[7] εστιν $\mathbf{f}^{35}$ A [98%] RP,HF,OC,TR,CP || --- $P^{46}$ℵB [2%] NU

[8] ιησου χριστου $\mathbf{f}^{35}$ [96%] RP,HF,OC,TR,CP || ~ 21 $P^{46}$ℵA,B [4%] NU

[9] εἱλικρινεις $\mathbf{f}^{35}$ [30%] || ειλικρινεις *rell* (If the first half of the word is presumed to derive from 'sunlight' or 'sun', the aspiration follows naturally.)

[10] καρπων $\mathbf{f}^{35}$ (66%) RP,HF,OC,TR,CP || καρπον $P^{46}$ℵA,B,I,048 (33.2%) NU || part of a large omission (0.8%) [homoioteleuton]

[11] των $\mathbf{f}^{35}$ (70%) RP,HF,OC,TR,CP || τον $P^{46}$ℵA,I,048 (28%) NU || --- B (0.8%) || two other readings (0.3%) || part of a large omission (0.8%) [homoioteleuton]

[12] τον λογον λαλειν $\mathbf{f}^{35}$ $P^{46}$ (73.7%) RP,HF,OC,TR,NU || ~ 312 (5%) || 12 του θεου 3 ℵA,B (15.8%) || 1 του θεου 23 (4%) (CP) || 123 του θεου (0.3%) || 12 κυριου 3 (0.3%) || four other readings (0.8%)

[13] επιφερειν $\mathbf{f}^{35}$ (92.7%) RP,HF,OC,TR,CP || εγειρειν ℵA,B (4.8%) NU || επεγειρειν (1.5%) || three other readings (0.5%) || part of a large omission (0.5%) [homoioteleuton]

[14] εξ εριθειας τον χριστον καταγγελλουσιν ουχ αγνως οιομενοι θλιψιν επιφερειν τοις δεσμοις μου οι δε εξ αγαπης ειδοτες οτι εις απολογιαν του ευαγγελιου κειμαι $\mathbf{f}^{35}$ (88.9%) RP,HF,OC,TR,CP || ~ 16-24,14-15,1-13 $P^{46}$ℵA,B,048 (9.6%) NU || two other readings (0.3%) || part of a large omission (1.2%) [homoioteleuton]

[15] πλην $\mathbf{f}^{35}$ [96%] RP,HF,OC,TR,CP || 1 οτι $P^{46}$ℵA,048 [4%] NU || οτι B

*[To live is Christ, to die is gain]*

19 Οιδα γαρ ὁτι τουτο μοι αποβησεται εις σωτηριαν (δια της ὑμων δεησεως και
επιχορηγιας του Πνευματος Ιησου Χριστου) 20 κατα την καραδοκιαν[1] και ελπιδα μου ὁτι
εν ουδενι αισχυνθησομαι αλλ’ εν παση παρρησια, ὡς παντοτε και νυν μεγαλυνθησεται
Χριστος εν τω σωματι μου, ειτε δια ζωης ειτε δια θανατου 21—εμοι γαρ το ζην Χριστος
και το αποθανειν κερδος. 22 Ει δε το ζην εν σαρκι τουτο μοι καρπος εργου, και τί αἱρη-
σομαι ου γνωριζω. 23 Συνεχομαι δε[2] εκ των δυο: την επιθυμιαν εχων εις το αναλυσαι και
συν Χριστω ειναι (πολλω[3] μαλλον κρεισσον) 24 το δε επιμενειν εν[4] τη σαρκι αναγ-
καιοτερον, δι’ ὑμας. 25 Και τουτο πεποιθως, οιδα ὁτι μενῶ και συμπαραμενῶ[5] πασιν ὑμιν
εις την ὑμων προκοπην και χαραν της πιστεως, 26 ἱνα το καυχημα ὑμων περισσευη εν
Χριστω Ιησου εν εμοι, δια της εμης παρουσιας παλιν προς ὑμας.

27 Μονον αξιως του ευαγγελιου του Χριστου πολιτευεσθε, ἱνα ειτε ελθων και ιδων
ὑμας ειτε απων ακουσω[6] τα περι ὑμων ὁτι στηκετε εν ἑνι πνευματι, μια ψυχη συναθλουντες
τη πιστει του ευαγγελιου, 28 και μη πτυρομενοι εν μηδενι ὑπο των αντικειμενων: ἡτις
αυτοις μεν εστιν[7] ενδειξις απωλειας, ὑμιν[8] δε σωτηριας, και τουτο απο Θεου. 29 Ὁτι ὑμιν
εχαρισθη το ὑπερ Χριστου, ου μονον το εις αυτον πιστευειν αλλα και το ὑπερ αυτου
πασχειν, 30 τον αυτον αγωνα εχοντες οἱον ειδετε[9] εν εμοι και νυν ακουετε εν εμοι.

*[About having the mind of Christ]*

**2**.1 Ει τις ουν παρακλησις εν Χριστω, ει τι παραμυθιον αγαπης, ει τις κοινωνια
Πνευματος, ει τι[10] σπλαγχνα και οικτιρμοι, 2 πληρωσατε μου την χαραν ἱνα το αυτο φρο-
νητε,[11] την αυτην αγαπην εχοντες, συμψυχοι, το ἑν φρονουντες. 3 Μηδεν κατα[12] εριθειαν
ἡ[13] κενοδοξιαν, αλλα τη ταπεινοφροσυνη αλληλους ἡγουμενοι ὑπερεχοντας ἑαυτων. 4 Μη
τα ἑαυτων ἑκαστος σκοπειτε,[14] αλλα και[15] το[16] ἑτερων ἑκαστος.[17]

5 Τουτο γαρ[18] φρονεισθω[19] εν ὑμιν ὃ και εν Χριστω Ιησου, 6 ὃς, εν μορφη Θεου
ὑπαρχων, ουχ ἁρπαγμον ἡγησατο το ειναι ισα Θεω, 7 αλλ’ ἑαυτον εκενωσεν, μορφην δουλου
λαβων, εν ὁμοιωματι ανθρωπων γενομενος. 8 Και σχηματι εὑρεθεις ὡς ανθρωπος, εταπει-
νωσεν ἑαυτον, γενομενος ὑπηκοος μεχρι θανατου—θανατου δε σταυρου! 9 Διο και ὁ Θεος
αυτον ὑπερυψωσεν και εχαρισατο αυτω[20] ονομα το ὑπερ παν ονομα, 10 ἱνα εν τω ονοματι
**Ιησου** παν γονυ καμψη—επουρανιων και επιγειων και καταχθονιων—11 και πασα γλωσσα
εξομολογησηται[21] ὁτι Κυριος Ιησους Χριστος, εις δοξαν Θεου Πατρος.

---

[1] καραδοκιαν **f**$^{35}$ [25%] || αποκαραδοκιαν ℵA,B [74%] RP,HF,OC,TR,CP,NU || παραδοσιν [1%] (The longer form is so far found only in Romans 8:19, not in pre-NT literature, whereas the shorter form occurs in earlier Greek. If the longer form were original, would medieval monks [Soden’s hypothesis] be likely to introduce an earlier form?)

[2] δε **f**$^{35}$ P$^{46}$ℵA,B [95%] RP,HF,OC,CP,NU || γαρ [5%] TR

[3] πολλω **f**$^{35}$ ℵ [95%] RP,HF,TR,CP || 1 γαρ (P$^{46}$)A,B,C [4%] OC[NU] || ποσω [1%] (OC is in small print.)

[4] εν **f**$^{35}$ P$^{46}$B [90%] RP,HF,OC,TR,CP[NU] || --- ℵA,C [10%]

[5] συμπαραμενω **f**$^{35}$ [97%] RP,HF,OC,TR,CP || παραμενω P$^{46}$ℵA,B,C [3%] NU

[6] ακουσω **f**$^{35}$ A,C [97%] RP,HF,OC,TR,CP || ακουω P$^{46}$(ℵ)B [3%] NU

[7] αυτοις μεν εστιν **f**$^{35}$ (82.8%) RP,HF,OC,TR,CP || ~ 312 (9.6%) || ~ 31 ℵA,B,C (6.8%) NU || ~ 213 (0.3%) || two other readings (0.5%)

[8] υμιν **f**$^{35}$ [90%] RP,HF,OC,TR,CP || υμων ℵA,B [5%] NU || ημιν C [5%]

[9] ειδετε **f**$^{35}$ P$^{46}$ℵA,B,C [90%] RP,HF,OC,CP,NU || ιδετε [10%] TR

[10] τι **f**$^{35}$ [35%] || τις P$^{46}$ℵA,B,C [60%] RP,HF,OC,CP,NU || τινα [5%] TR

[11] φρονητε *rell* || φρονειτε [10%]

[12] κατα **f**$^{35}$ P$^{46}$A [90%] RP,HF,OC,TR,CP || κατ ℵB,C [10%] NU

[13] η **f**$^{35}$ [95%] RP,HF,OC,TR,CP || μηδε κατα ℵA,B,C [3%] NU || μηδε P$^{46}$ [1%] || 1 κατα [1%] || one other reading

[14] σκοπειτε **f**$^{35}$ [93%] RP,HF,OC,TR,CP || σκοπουντες P$^{46}$ℵA,B,C [5%] NU || σκοπειτω [2%]

[15] και **f**$^{35}$ P$^{46}$ℵA,B,C [99%] RP,HF,OC,TR,CP[NU] || --- D [1%]

[16] το **f**$^{35}$ [40%] CP || τα P$^{46}$ℵA,B,C [45%] RP,HF,OC,TR,NU || των [15%]

[17] εκαστος **f**$^{35}$ C [95%] RP,HF,OC,TR,CP || εκαστοι P$^{46}$ℵA,B [4%] NU || --- [1%]

[18] γαρ **f**$^{35}$ P$^{46}$ [97%] RP,HF,OC,TR,CP || --- ℵA,B,C [2%] NU || ουν [1%]

[19] φρονεισθω **f**$^{35}$ [97%] RP,HF,OC,TR,CP || φρονειτε P$^{46}$ℵA,B,C [3%] NU

[20] αυτω **f**$^{35}$ [98%] RP,HF,OC,TR,CP || 1 το P$^{46}$ℵA,B,C [2%] NU

[21] εξομολογησηται **f**$^{35}$ P$^{46}$ℵB [80%] RP,HF,OC,TR,CP,NU || εξομολογησεται A,C [20%]

*[Act like children of God]*

12 ῾Ωστε, αγαπητοι μου, καθως παντοτε ὑπηκουσατε[1] (μη ὡς[2] εν τη παρουσια μου
μονον αλλα[3] νυν πολλω μαλλον εν τη απουσια μου), μετα φοβου και τρομου την ἑαυτων
σωτηριαν κατεργαζεσθε, 13 ὁ[4] Θεος γαρ εστιν ὁ ενεργων εν ὑμιν, και το θελειν και το
ενεργειν, ὑπερ της ευδοκιας.
14 Παντα ποιειτε χωρις γογγυσμων[5] και διαλογισμων, 15 ἱνα γενησθε αμεμπτοι και
ακεραιοι, τεκνα Θεου αμωμητα[6] εν μεσω[7] γενεας σκολιας και διεστραμμενης, εν οἱς φαινεσθε
ὡς φωστηρες εν κοσμω, 16 λογον ζωης επεχοντες, εις καυχημα εμοι εις ἡμεραν Χριστου
ὁτι ουκ εις κενον εδραμον ουδε εις κενον εκοπιασα. 17 Αλλ'[8] ει και σπενδομαι επι τη
θυσια και λειτουργια της πιστεως ὑμων, χαιρω και συγχαιρω πασιν ὑμιν. 18 Το δ'[9] αυτο
και ὑμεις χαιρετε και συγχαιρετε μοι.

*[About Timothy]*

19 Ελπιζω δε εν Κυριω Ιησου Τιμοθεον ταχεως πεμψαι ὑμιν, ἱνα καγω ευψυχω
γνους τα περι ὑμων. 20 Ουδενα γαρ εχω ισοψυχον, ὁστις γνησιως τα περι ὑμων μεριμ-
νησει 21 (οἱ παντες γαρ τα ἑαυτων ζητουσιν, ου τα[10] Χριστου Ιησου).[11] 22 Την δε δοκι-
μην αυτου γινωσκετε, ὁτι ὡς πατρι τεκνον συν εμοι εδουλευσεν εις το ευαγγελιον. 23 Του-
τον μεν ουν ελπιζω πεμψαι, ὡς αν απιδω[12] τα περι εμε εξαυτης. 24 Πεποιθα δε εν Κυριω
ὁτι και αυτος ταχεως ελευσομαι.

*[About Epaphroditus]*

25 Αναγκαιον δε ἡγησαμην Επαφροδιτον, τον αδελφον και συνεργον και συστρα-
τιωτην μου, ὑμων δε αποστολον και λειτουργον της χρειας μου, πεμψαι προς ὑμας· 26 επει-
δη επιποθων ἠν παντας ὑμας,[13] και αδημονων διοτι ηκουσατε ὁτι ησθενησεν. 27 Και γαρ
ησθενησεν, παραπλησιον θανατω,[14] αλλ'[15] ὁ Θεος αυτον ηλεησεν,[16] ουκ αυτον δε μονον αλλα
και εμε, ἱνα μη λυπην επι λυπην[17] σχω. 28 Σπουδαιοτερως ουν επεμψα αυτον, ἱνα ιδοντες
αυτον παλιν χαρητε, καγω αλυποτερος[18] ω. 29 Προσδεχεσθε ουν αυτον εν Κυριω μετα πασης
χαρας, και τους τοιουτους εντιμους εχετε, 30 ὁτι δια το εργον του Χριστου[19] μεχρι θανατου
ηγγισεν, παραβουλευσαμενος[20] τη ψυχη, ἱνα πληρωση[21] το ὑμων ὑστερημα της προς με[22]
λειτουργιας.

## [Paul's example]

**3**.1 Το λοιπον, αδελφοι μου, χαιρετε εν Κυριω. Τα αυτα γραφειν ὑμιν εμοι μεν ουκ οκνη-
ρον, ὑμιν δε το[23] ασφαλες. 2 Βλεπετε τους κυνας, βλεπετε τους κακους εργατας, βλεπετε την

---

[1] υπηκουσατε *rell* || 1 μου CP
[2] ως **f**$^{35}$ P$^{46}$אA,C [90%] RP,HF,OC,TR,NU || --- B [10%] CP
[3] αλλα *rell* || 1 και CP
[4] ο **f**$^{35}$ [95%] RP,HF,OC,TR,CP || --- אA,B,C [5%] NU
[5] γογγυσμων **f**$^{35}$ P$^{46v}$אA,B,C [90%] RP,HF,OC,TR,NU || οργης [10%] CP
[6] αμωμητα **f**$^{35}$ [97%] RP,HF,OC,TR,CP || αμωμα P$^{46}$אA,B,C [3%] NU
[7] εν μεσω **f**$^{35}$ [96%] RP,HF,OC,TR,CP || μεσον P$^{46}$אA,B,C [4%] NU
[8] αλλ *rell* || αλλα A$^{v}$,B [1%] NU
[9] δ **f**$^{35}$ A,C [97%] RP,HF,OC,TR || δε P$^{46}$אB [3%] CP,NU
[10] τα **f**$^{35}$ P$^{46}$אA,B,C [60%] RP,HF,OC,CP,NU || 1 του [40%] TR
[11] χριστου ιησου **f**$^{35}$ B [97%] RP,HF,OC,TR,CP || ~ 21 P$^{46}$אA,C [3%] NU
[12] απιδω **f**$^{35}$ C [97%] RP,HF,OC,TR,CP || αφιδω P$^{46}$אA,B [3%] NU
[13] υμας **f**$^{35}$ (P$^{46}$)(B) [75%] RP,HF,OC,TR,CP,NU || 1 ιδειν אA,C,I$^{v}$ [25%]
[14] θανατω *rell* || θανατου B [10%] OC
[15] αλλ **f**$^{35}$ [80%] HF,OC,TR || αλλα אA,B,C [20%] RP,CP,NU
[16] αυτον ηλεησεν **f**$^{35}$ [95%] RP,HF,OC,TR,CP || ~ 21 אA,B,C [5%] NU
[17] λυπην **f**$^{35}$ אA,B,C [90%] RP,HF,OC,CP,NU || λυπη [10%] TR
[18] αλυποτερος *rell* || αλυπωτερος [15%]
[19] του χριστου **f**$^{35}$ [90%] RP,HF,OC,TR,CP || 2 P$^{46}$B [5%] NU || κυριου אA [4%] || --- C [1%] || one other reading
[20] παραβουλευσαμενος **f**$^{35}$ C [97%] RP,HF,OC,TR,CP || παραβολευσαμενος P$^{46}$אA,B [3%] NU
[21] πληρωση **f**$^{35}$ B [40%] CP || αναπληρωση P$^{46}$A,C [55%] RP,HF,OC,TR,NU || αναπληρωσει א [5%]
[22] με *rell* || εμε א [10%]
[23] το **f**$^{35}$ A$^{v}$ [40%] HF || --- P$^{46}$אB,C [60%] RP,OC,TR,CP,NU

κατατομην! 3 Ἡμεις γαρ εσμεν ἡ περιτομη, οἱ Πνευματι Θεου[1] λατρευοντες και καυχωμενοι
εν Χριστω Ιησου, και ουκ εν σαρκι πεποιθοτες 4 (καιπερ εγω εχων πεποιθησιν και[2] εν
σαρκι).

*[About Paul]*

Ει τις δοκει αλλος πεποιθεναι εν σαρκι, εγω μαλλον: 5 περιτομη οκταημερος, εκ
γενους Ισραηλ, φυλης Βενιαμιν,[3] Ἑβραιος εξ Ἑβραιων· κατα νομον, Φαρισαιος· 6 κατα
ζηλον,[4] διωκων την εκκλησιαν· κατα δικαιοσυνην την εν νομω γενομενος, αμεμπτος.

7 Αλλ'[5] ἁτινα ἦν μοι[6] κερδη, ταυτα ἥγημαι δια τον Χριστον ζημιαν. 8 Αλλα μεν
ουν[7] και ἡγουμαι παντα ζημιαν ειναι δια το ὑπερεχον της γνωσεως Χριστου Ιησου[8] του
Κυριου μου—δι' ὃν τα παντα εζημιωθην (και ἡγουμαι σκυβαλα ειναι),[9] ἱνα Χριστον
κερδησω 9 και εὑρεθω εν αυτω, μη εχων εμην δικαιοσυνην την εκ νομου αλλα την δια
πιστεως Χριστου, την εκ Θεου δικαιοσυνην επι τη πιστει· 10 του γνωναι αυτον και την
δυναμιν της αναστασεως αυτου, και την[10] κοινωνιαν των[11] παθηματων αυτου, συμμορφου-
μενος[12] τω θανατω αυτου, 11 ει πως καταντησω εις την εξαναστασιν των[13] νεκρων 12—ουχ
ὁτι ηδη ελαβον ἢ ηδη τετελειωμαι· διωκω δε ει και καταλαβω εφ' ᾧ και κατεληφθην[14] ὑπο
του[15] Χριστου Ιησου.[16]

13 Αδελφοι, εγω εμαυτον ουπω[17] λογιζομαι κατειληφεναι, ἑν δε: τα μεν οπισω[18]
επιλανθανομενος τοις δε εμπροσθεν επεκτεινομενος, 14 κατα σκοπον διωκω επι[19] το βραβειον
της ανω κλησεως του Θεου εν Χριστω Ιησου.

*[Our citizenship is in Heaven]*

15 Ὁσοι ουν τελειοι τουτο φρονωμεν, και ει τι ἑτερως φρονειτε, και τουτο ὁ Θεος
ὑμιν αποκαλυψει. 16 Πλην, εις ὃ εφθασαμεν, τω αυτω στοιχειν κανονι, το αυτο φρονειν.[20]

17 Συμμιμηται μου γινεσθε, αδελφοι, και σκοπειτε τους οὑτως περιπατουντας καθως
εχετε τυπον ἡμας. 18 Πολλοι γαρ περιπατουσιν—οὓς πολλακις ελεγον ὑμιν, νυν δε και
κλαιων λεγω—τους εχθρους του σταυρου του Χριστου, 19 ὧν το τελος απωλεια, ὧν ὁ[21]
θεος ἡ κοιλια, και ἡ δοξα εν τη αισχυνη αυτων· οἱ τα επιγεια φρονουντες. 20 Ἡμων γαρ
το πολιτευμα εν ουρανοις ὑπαρχει, εξ οὗ και σωτηρα απεκδεχομεθα, Κυριον Ιησουν
Χριστον· 21 ὃς μετασχηματισει το σωμα της ταπεινωσεως ἡμων εις το γενεσθαι αυτο[22]
συμμορφον τω σωματι της δοξης αυτου, κατα την ενεργειαν του δυνασθαι αυτον και

---

[1] θεου **f**$^{35}$ ℵA,B,C [95%] RP,HF,OC,CP,NU || θεω [5%] TR || --- $P^{46}$

[2] και *rell* || --- [10%]

[3] βενιαμιν *rell* || βενιαμην C [10%] || βενιαμειν ℵA,B [5%]

[4] ζηλον **f**$^{35}$ [97%] RP,HF,OC,TR,CP || ζηλος $P^{46}$ℵA,B,I [3%] NU

[5] αλλ **f**$^{35}$ [95%] RP,HF,OC,TR,CP || αλλα B [2%] [NU] || --- $P^{46}$ℵA [3%]

[6] ην μοι *rell* || ~ 21 B [10%]

[7] ουν **f**$^{35}$ B [90%] RP,HF,CP || ουνγε $P^{46}$ℵA [10%] OC,TR,NU

[8] χριστου ιησου **f**$^{35}$ $P^{46}$ℵ(B) [80%] RP,HF,OC,TR,CP,NU || ~ 21 A [20%]

[9] ειναι **f**$^{35}$ A [97%] RP,HF,OC,TR,CP || --- ℵB [3%] NU

[10] την **f**$^{35}$ [98%] RP,HF,OC,TR,CP[NU] || --- $P^{46}$ℵA,B [2%]

[11] των **f**$^{35}$ A [99%] RP,HF,OC,TR,CP[NU] || --- $P^{46}$ℵB [1%]

[12] συμμορφουμενος **f**$^{35}$ [97%] RP,HF,OC,TR,CP || συμμορφιζομενος (ℵ)A [2%] NU || συμορφιζομενος B || συνφορτειζομενος [1%] || $P^{46}$ omits whole phrase

[13] των **f**$^{35}$ [96%] RP,HF,OC,TR,CP || την εκ $P^{46}$ℵA,B [3%] NU || 1 εκ [1%]

[14] κατεληφθην *rell* || κατελημφθην ℵA,B [2%] NU

[15] του **f**$^{35}$ [80%] RP,HF,OC,TR,CP || --- $P^{46}$ℵA,B,C [20%] NU

[16] χριστου ιησου **f**$^{35}$ $P^{46}$ℵA [97%] RP,HF,OC,TR[NU] || ~ 21 [1%] || 1 B [2%] || ~ κυριου 21 CP

[17] ουπω **f**$^{35}$ $P^{16v}$ℵA [40%] OC,CP || ου $P^{46}$B [60%] RP,HF,TR,NU

[18] οπισω *rell* || οπισθεν [10%]

[19] επι **f**$^{35}$ [96%] RP,HF,OC,TR,CP || εις $P^{16,46}$ℵA,B,I [4%] NU

[20] κανονι το αυτο φρονειν **f**$^{35}$ (91%) RP,HF,OC,TR,CP || ~ 2314 (6.3%) || 234 (1%) || --- $P^{16,46}$ℵA,B,$I^{v}$ (1.7%) NU (Some 7% invert the order of στοιχειν and φρονειν.)

[21] ο *rell* || --- CP

[22] εις το γενεσθαι αυτο **f**$^{35}$ (90.2%) RP,HF,OC,TR,CP || 123 αυτω (3.2%) || 123 αυτον (3.2%) || 123 (0.8%) || --- ℵA,B (2.5%) NU || one other reading (0.2%)

ὑποταξαι ἑαυτω[1] τα παντα. **4**.1 Ὡστε, αδελφοι μου, αγαπητοι και επιποθητοι, χαρα και
στεφανος μου, οὑτως στηκετε εν Κυριω, αγαπητοι.

## [Concluding considerations]

### *[To individuals]*

**4**.2 Ευοδιαν[2] παρακαλω και Συντυχην παρακαλω το αυτο φρονειν εν Κυριω. 3 Ναι,[3] ερωτω
και σε, συζυγε γνησιε,[4] συλλαμβανου αυταις, αἱτινες εν τω ευαγγελιω συνηθλησαν μοι,
μετα και Κλημεντος και των λοιπων συνεργων μου, ὧν τα ονοματα εν Βιβλω Ζωης.

### *[Filling the mind with good things]*

4 Χαιρετε εν Κυριω παντοτε· παλιν ερω, χαιρετε! 5 Το επιεικες ὑμων γνωσθητω
πασιν ανθρωποις· ὁ Κυριος εγγυς. 6 Μηδεν μεριμνατε, αλλ' εν παντι, τη προσευχη και τη
δεησει μετα ευχαριστιας,[5] τα αιτηματα ὑμων γνωριζεσθω προς τον Θεον· 7 και ἡ ειρηνη
του Θεου, ἡ ὑπερεχουσα παντα νουν, φρουρησει τας καρδιας ὑμων και τα νοηματα ὑμων εν
Χριστω Ιησου.

8 Το λοιπον, αδελφοι, ὁσα εστιν αληθη, ὁσα σεμνα, ὁσα δικαια, ὁσα ἁγνα, ὁσα
προσφιλη, ὁσα ευφημα—ει τις αρετη και ει τις επαινος—ταυτα λογιζεσθε. 9 Ἁ και εμα-
θετε και παρελαβετε και ηκουσατε και ειδετε[6] εν εμοι, ταυτα πρασσετε, και ὁ Θεος της
ειρηνης εσται μεθ' ὑμων.

### *[Thanks for material support]*

10 Εχαρην δε εν Κυριω μεγαλως ὁτι ηδη ποτε ανεθαλετε το ὑπερ εμου φρονειν· εφ'
ᾧ και εφρονειτε,[7] ηκαιρεισθε δε. 11 Ουχ ὁτι καθ' ὑστερησιν λεγω, εγω γαρ εμαθον εν οἷς
ειμι αυταρκης ειναι. 12 Οιδα και[8] ταπεινουσθαι, οιδα και περισσευειν· εν παντι και εν
πασιν μεμυημαι και χορταζεσθαι και πειναν, και περισσευειν και ὑστερεισθαι. 13 Παντα
ισχυω εν τω ενδυναμουντι με Χριστω.[9] 14 Πλην[10] καλως εποιησατε συγκοινωνησαντες μου
τη θλιψει.

15 Οιδατε δε[11] και ὑμεις, Φιλιππησιοι, ὁτι εν αρχη του ευαγγελιου, ὁτε εξηλθον
απο Μακεδονιας, ουδεμια μοι εκκλησια εκοινωνησεν εις λογον δοσεως και ληψεως[12] ει μη
ὑμεις μονοι. 16 Ὁτι και εν Θεσσαλονικη, και ἁπαξ και δις, εις την χρειαν μοι επεμψατε.
17 Ουχ ὁτι επιζητω το δομα, αλλ'[13] επιζητω τον καρπον τον πλεοναζοντα εις λογον ὑμων.
18 Απεχω δε παντα και περισσευω· πεπληρωμαι, δεξαμενος παρα Επαφροδιτου τα παρ'
ὑμων, οσμην ευωδιας, θυσιαν δεκτην, ευαρεστον τω Θεω. 19 Ὁ δε Θεος μου πληρωσει[14]
πασαν χρειαν ὑμων κατα τον πλουτον[15] αυτου εν δοξη εν Χριστω Ιησου.

20 Τω δε Θεω και Πατρι ἡμων ἡ δοξα εις τους αιωνας των αιωνων. Αμην.

### *[Sign off]*

**21** Ασπασασθε παντα ἁγιον εν Χριστω Ιησου. Ασπαζονται ὑμας οἱ συν εμοι αδελφοι.
22 Ασπαζονται ὑμας παντες οἱ ἁγιοι, μαλιστα δε οἱ εκ της Καισαρος οικιας.

---

[1] εαυτω **$f^{35}$** [80%] RP,HF,TR,CP || αυτω ℵA,B [20%] OC,NU
[2] ευοδιαν **$f^{35}$** ℵA,B [90%] RP,HF,OC,CP,NU || ευωδιαν [10%] TR
[3] ναι **$f^{35}$** $P^{46}$ℵA,B [95%] RP,HF,OC,CP,NU || και [5%] TR
[4] συζυγε γνησιε **$f^{35}$** [90%] RP,HF,OC,TR,CP || ~ 21 ($P^{46}$)ℵ(A)B [10%] NU
[5] ευχαριστιας *rell* || ευχαριστειας [20%]
[6] ειδετε **$f^{35}$** ℵA,B [70%] RP,HF,OC,TR,CP,NU || ιδετε [30%]
[7] εφρονειτε *rell* || φρονειτε CP
[8] και **$f^{35}$** $P^{46}$ℵA,B [85%] RP,HF,OC,CP,NU || δε [15%] TR
[9] χριστω **$f^{35}$** [98%] RP,HF,OC,TR,CP || --- ℵA,B,I [2%] NU
[10] πλην **$f^{35}$** ℵA,B [90%] RP,HF,OC,TR,CP,NU || 1 και υμεις [10%]
[11] δε *rell* || --- $P^{46}$ [2%] CP
[12] ληψεως *rell* || λημψεως ℵA,B [2%] NU
[13] αλλ *rell* || αλλα A,B [1%] NU
[14] πληρωσει *rell* || πληρωσαι [15%]
[15] τον πλουτον **$f^{35}$** [97%] RP,HF,OC,TR,CP || το πλουτος $P^{46}$ℵA,B [2%] NU || του πλουτος [1%]

## Philippians

23 Ἡ χαρις του Κυριου,[1] Ιησου Χριστου, μετα παντων[2] ὑμων. Αμην.[3,4]

---

[1] κυριου **f**[35] ℵA,B [85%] RP,HF,OC,CP,NU || 1 ημων P[46] [15%] TR

[2] παντων **f**[35] (90.9%) RP,HF,OC,TR,CP || του πνευματος P[46]ℵA,B (9.1%) NU

[3] αμην **f**[35] P[46]ℵA [98%] RP,HF,OC,TR,CP || --- B [2%] NU

[4] The citation of **f**[35] is based on thirty-seven MSS—18, 35, 201, 204, 328, 386, 394, 444, 604, 757, 824, 928, 986, 1072, 1075, 1100, 1248, 1249, 1503, 1548, 1637, 1725, 1732, 1761, 1768, 1855, 1864, 1865, 1876, 1892, 1897, 2080, 2352, 2466, 2554, 2587 and 2723—all of which I collated myself. 35, 1072, 1864, 1865 and 2554 are 'perfect' representatives of **f**[35] in Philippians, as they stand, as were the exemplars of another ten. The uniformity is impressive. Since these MSS come from all over the Mediterranean world (Sinai, Jerusalem, Patmos, Constantinople, Bucharest, Aegean, Trikala, Meteora, Athens, Mt. Athos [seven different monasteries], Grottaferrata, Vatican, etc.) they are certainly representative of the family, giving us the precise family profile—it is reflected in the Text without exception.

In the statements of evidence I have included the percentage of manuscript attestation for each variant, within either ( ) or [ ]. I have used ( ) for the evidence taken from *TuT*, which I take to be reasonably precise. For the variant sets that are not covered there I had to revert to von Soden and the apparatus of N-A[27], supplementing from other sources where possible (Scrivener and Tischendorf)—the percentages offered, I have used [ ] for these, are extrapolations based on a comparison of these sources.

I venture to predict, if complete collations ever become available, that for any non-Byzantine variants listed with 5 to 1% support (in my apparatus) the margin of error should not exceed ± 1%; for non-Byzantine variants listed with 10 to 6% support the margin of error should hardly exceed ± 3%; where there is some division among the Byzantine witnesses the margin of error should rarely exceed ± 15%. However, I guarantee the witness of Family 35. Please see the last footnote for Matthew for further information.